UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

I

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

Ἡ μὲν οὖν εἰρωνεία δόξειεν ἂν εἶναι, ὡς τύπῳ λαβεῖν, 1
προσποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων, ὁ δὲ εἴρων
τοιοῦτός τις, οἷος προσελθὼν τοῖς ἐχθροῖς ἐθέλειν λαλεῖν, 2
οὐ μισεῖν· καὶ ἐπαινεῖν παρόντας, οἷς ἐπέθετο λάθρα, καὶ
τούτοις συλλυπεῖσθαι ἡττωμένοις· καὶ συγγνώμην δὲ ἔχειν
τοῖς αὑτὸν κακῶς λέγουσι καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγο-
μένοις. καὶ πρὸς τοὺς ἀδικουμένους καὶ ἀγανακτοῦντας πράως 3
διαλέγεσθαι· καὶ τοῖς ἐντυγχάνειν κατὰ σπουδὴν βουλομένοις
προστάξαι ἐπανελθεῖν. καὶ μηδὲν ὧν πράττει ὁμολογῆσαι, 4
ἀλλὰ φῆσαι βουλεύεσθαι· καὶ προσποιήσασθαι ἄρτι παρα-
γεγονέναι καὶ ὀψὲ γενέσθαι αὐτὸν καὶ μαλακισθῆναι. καὶ 5
πρὸς τοὺς δανειζομένους καὶ ἐρανίζοντας . . . ὡς οὐ πωλεῖ, καὶ
μὴ πωλῶν φῆσαι πωλεῖν· καὶ ἀκούσας τι μὴ προσποιεῖσθαι,
καὶ ἰδὼν φῆσαι μὴ ἑορακέναι, καὶ ὁμολογήσας μὴ μεμνῆσθαι·
καὶ τὰ μὲν σκέψασθαι φάσκειν, τὰ δὲ οὐκ εἰδέναι, τὰ δὲ

M : Περὶ εἰρωνείας α′. Ἡ μὲν οὖν εἰρωνεία ὡς τύπω περιλαβεῖν προσποίησις ἐστιν ἐπὶ τὸ χεῖρον λόγων τε καὶ πράξεων. ὁ δὲ εἴρων τοιοῦτός τις, οἷος προσελθὼν τοῖς ἐχθροῖς ἐνδείκνυσθαι οὐ μισεῖν. καὶ ἐπαινεῖν ἀναφανδὸν οἷς ἐπέθετο λάθρα. καὶ συνάχθεσθαι πάσχουσι κακῶς. ἢ ἡττημένοις καὶ συγγνώμης ἀξιοῦν τοὺς κακῶς αὐτὸν λέγοντας. καὶ πράως διαλέγεσθαι ἀδικου (sic). καὶ τοὺς ἐντυχεῖν βεβουλημένους κατασπουδὴν προστάξαι ἐπανελθεῖν. μὴ δ' ὁμολογεῖν εἰ πράττει. ἀλλὰ λέγειν· ἔτι βουλεύεσθαι. προσποιεῖσθαι τε ἄρτι ἢ ὀψὲ παραγενέσθαι καὶ ἀκούοντας προσποιεῖσθαι μὴ ἀκούειν. ἢ μὴ μεμνῆσθαι ἢ ἐπαγγέλεσθαι σκέψασθαι.

I. 2 ὡς B : ἐν A : ὡς ἐν recc. 4 τις B : ἐστιν compend. A οἷος B : οἷον sic A λαλεῖν B : λαβεῖν sed corr. minutis litterulis initio vocis supra scriptis λε (vel λι) A : λαθεῖν Kayser 5 οὐ μισεῖν A B : οὓς μισεῖ scite Schneider : del. Ussing : ⟨ὡς⟩ οὐ μισῶν Hartung 7 αὑτὸν] αὐτὸν A B 11 βουλεύεσθαι sic A B : βουλεύσεσθαι Cobet 12 αὐτὸν vix sanum 13 ἐρωνίζοντας sic B lacuna, quam statuit Salmasius, credibile hausta talia φῆσαι ὡς οὐδὲν ἔχει, καὶ πωλῶν φῆσαι 14 φῆσαι Schneider : φήσει A B 15 φῆσαι recc. : φήσει A B ἑωρακέναι A B 16 σκέψεσθαι Casaubon

θαυμάζειν, τὰ δ' ἤδη ποτὲ καὶ αὐτὸς οὕτως διαλογίσασθαι.
6 καὶ τὸ ὅλον δεινὸς τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι· 'οὐ πιστεύω', 'οὐχ ὑπολαμβάνω', 'ἐκπλήττομαι' καὶ 'λέγεις αὐτὸν ἕτερον γεγονέναι· καὶ μὴν οὐ ταῦτα πρὸς ἐμὲ διεξῄει', 'παράδοξόν μοι τὸ πρᾶγμα', 'ἄλλῳ τινὶ λέγε', 'ὅπως δὲ σοὶ ἀπιστήσω ἢ ἐκείνου καταγνῶ, ἀποροῦμαι', 'ἀλλ' ὅρα, μὴ σὺ θᾶττον πιστεύεις'.

7 [Τοιαύτας φωνὰς καὶ πλοκὰς καὶ παλιλλογίας εὑρεῖν ἐστι τῶν εἰρώνων. τὰ δὴ τῶν ἠθῶν μὴ ἁπλᾶ, ἀλλ' ἐπίβουλα, φυλάττεσθαι μᾶλλον δεῖ ἢ τοὺς ἔχεις.]

## II ΚΟΛΑΚΕΙΑΣ Β′

Τὴν δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, συμφέρουσαν δὲ τῷ κολακεύοντι, τὸν δὲ κόλακα τοιοῦτόν
2 τινα, ὥστε ἅμα πορευόμενον εἰπεῖν· 'ἐνθυμῇ, ὡς ἀποβλέπουσι πρὸς σὲ οἱ ἄνθρωποι; τοῦτο δὲ οὐθενὶ τῶν ἐν τῇ πόλει γίγνεται πλὴν σοί.' 'ηὐδοκίμεις χθὲς ἐν τῇ στοᾷ·' πλειόνων

---

*ἢ ἀγνοειν ι θαυμάζειν. ἢ μὴ ὁρᾶν ὑποκρίνεσθαι. καὶ ὅσα παρέπεται τῇ εἰρωνείᾳ λέγειν· οὐ πιστεύω. ἐξίσταμαι. οἱ τούτοις καταχρώμενοι τοῖς τρόποις ἀποτρόπαιοι ὑπὲρ τὰς ἔχεις. καὶ φευκτὰ τὰ τοιαῦτα ἤθη ὡς ἐπίβουλα:*

M: Περὶ κολακείας β′. Ἡ δὲ κολακεία, συμφέρει μὲν τῷ κόλακι. ἀλλ' ὅμως αἰσχρά ἐστιν ὁμιλία. ὁ δὲ κόλαξ τοιοῦτός τις οἷος λέγειν. ὡς ἀστεῖος εἶ καὶ περίβλεπτος. καὶ ἁπλῶς εἰπεῖν πάντων ζηλωτότατος καὶ

---

17 οὕτως sic A B  19 λέγεις αὐτὸν Foss: λέγει ἑαυτὸν A B: λέγεις ⟨αὐτὸν⟩ ἑαυτοῦ Edmonds  21 παράδοξον ... λέγε transp. ante λέγεις Foss  ὅπως A B: ὁπότερον Cobet  δ' ἢ σοὶ Needham  23 πιστεύεις B: πιστεύῃς A  24–26 epilogus non Theophrasti  24 παλλιλογίας A B  25 τῶν εἰρώνων scripsi: οὐ χεῖρον ὂν A B: τοῦ εἴρωνος praeiverat Ussing  26 τοὺς corr. B: οὓς A B

II. 2 cum definitione cf. Philodem. de adulat. (vol. Herc. coll. alt. i, p. 83, 90. 91)  4 ἅμα πορευόμενον sic A B  5 τοῦτο, suprascr. δὲ B: τοῦτο A  οὐθενὶ B: οὐδενὶ A (vide Praef. p. xxviii)  6 γίνεται A B  πλὴν ἢ σοί A